# Το ἐσχατον ημών προπύργιον



**Ευμήχανος Μοσχονάς**
● Facebook ● LinkedIn
Αττικός πεζογράφος, Οι Σωκρατόγομφοι

Οὐδὲν ἀχαριστότερον ἄν ποτε γένοιτο, ὦ φίλοι, σωθέντες ἡμεῖς ὡς ἔθνος διὰ τῆς ἡμῶν ἱερᾶς γλώττης, ἐπὶ τοῖς βαρβάροις Τούρκοις ὄντες ἀμφὶ τοὺς τετρακοσίους χρόνους, καὶ τηλικοῦτον μέγαν κίνδυνον ἀφανισμοῦ διαπεφευγότες, εἶτα οὕτω ῥᾳδίως ἐπιλελῆσθαι τὴν ἡμῶν γλῶτταν, χρώμενοι τῷ ῥωμαϊκῷ ἀλφαβήτῳ ἤ καὶ λαλοῦντες τὴν βρεττανικὴν φωνὴν.

Ὁρῶ γὰρ Ἕλληνας ὄντας ἐν Ἑλλάδι, οἵτινες κακὰ φλυαροῦσι λέγοντες ὡς εἰκὸς ἡμᾶς ἐστι, προϊόντος τοῦ χρόνου καὶ ἐπικουρούσης τῆς τέχνης τῶν ἠλεκτρονικῶν, τῷ Ρωμαϊκῷ ἀλφαβήτῳ χρῆσθαι, καταισχύνοντες οὕτω τοὺς ἡμῶν προγόνους τε καὶ τὴν πᾶσαν Ἑλλάδα. Ἀκούων τηλεοράσεως αἰσχύνομαι ὅτι πλείσταις λέξεσι Βρεττανικαῖς χρῶνται ἤ Ἑλληνικαῖς.

Ἀλλὰ καὶ τῶν νέων πολλοὶ βρεττανιστὶ τοὺς καθ' ἡμέραν λόγους ποιοῦνται, ὀνειδίζοντες τοῖς τῇ Ἑλληνικῇ φωνῇ χρωμένοις!!

Ἀναμνήσω οὖν ὑμᾶς, ὦ φίλοι, ὅτι ταύτῃ τῇ γλώττῃ χρώμενοι οἱ μέγιστοι τῶν ἀνθρώπων γεγράφασι τὰ ἑαυτῶν ἔργα ἅτινα ἄγουσιν ἡμᾶς ἐκ τῆς βαρβαρότητος εἰς τὸν ἥμερον τῶν ἀνθρώπων βίον.

Πολλάκις οὖν δέδοικα μὴ, ἄν μάθωμεν ἄνευ τῆς Ἑλληνικῆς φωνῆς ζῆν, μὴ ὡς καὶ οἱ λωτοφάγοι ἐπιλαθώμεθα τῆς ἡμῶν γλώττης, τῶν ἡμῶν ἐνδόξων προγόνων, καὶ ὅλα ὅσα ἡμῖν καταλελοίπασιν ὡς κληρονομίαν.

Ἐν ἡμῖν τοῖς Ἕλλησιν μόνον ἡ σωτηρία τῆς ἀττικῆς διαλέκτου ἐστὶν. Μανθάνειν δεῖ ἡμᾶς τὴν ἀττικὴν φωνὴν. Οὐ χαλεπὸν ἀλλὰ ῥᾴδιὸν τοῦτο ἐστὶν.

Εἰ ἡ ἡμῶν γλῶττα ἀπώλλυτο, καὶ ἡμεῖς ἄν ὡς τῶν Ἑλλήνων ἔθνος ἀπωλλύμεθα. Τὸ ἔσχατον ἡμῶν προπύργιον ἡ ἡμῶν γλῶττα ἐστὶν.

Πειράσομαι οὖν νῦν γράψαι ὁπόσα ἄν διαμνημονεύσω περὶ τῆς ἡμῶν γλώττης καὶ ἀλφαβήτου. Ὡς ἴστε τῷ ἡμῶν ἀλφαβήτῳ ἀλλὰ καὶ Ἀττικῇ φωνῇ ἡμεῖς οἱ Ἕλληνες χρώμεθα ἐπὶ χιλιάδας χρόνους ἤτοι ἀπὸ τοῦ Ὁμήρου ἄχρι καὶ τοῦ νῦν. Πολλοῖς δ' οὐκ ὀρθῶς εἴρηται ὡς διάφορος ἡ νῦν γλῶττα τῆς τότε Ἀττικῆς φωνῆς ἐστιν.

Εἰ καὶ πολλὰ τὰ εὑρημένα ὑπὸ τῶν ἀνθρώπων κατὰ παντὸς τοῦ χρόνου ἐστὶ, οὐδὲν τούτων τῶν εὑρημάτων τῆς εὑρέσεως τοῦ ἀλφαβήτου ὑπερέχει. Διὰ γὰρ τοῦ ἀλφαβήτου οἷον τε τοῖς ἀνθρώποις ἐγένετο οὐ μόνον τοὺς ἑαυτῶν λογισμοὺς εἰς βιβλία γράφειν, ἀλλὰ καὶ κληρονομεῖν τοὺς λογισμοὺς τούσδε τοῖς

ἐπιγενομένοις. Δῆλον οὖν ὅτι διὰ τοῦ ἀλφαβήτου δυνατὸν ἡμῖν τοῦτο ἐστιν, τὸ ἀναγιγνώσκειν νῦν τὰ Σωκράτους εἰρημένα.

Ὁμολογεῖται δ' ὅτι ἡ Ἑλληνικὴ φωνὴ ὑπερέχουσα τῶν ἄλλων φωνῶν ἀπὸ τοῦ παλαιοῦ ἐστιν δι' οὐδὲν ἄλλο ἤ ὅτι ἐτυμολογικὴ ἡ τῶν λέξεων σχέσις ἐστὶν. Ῥᾴδιον δὲ ἐκ τῆς ἐτυμολογίας τῆσδε κατανοῆσαι τὸ νοούμενον καινῶν λέξεων.

Ὡς τὸ Ἑλληνικὸν νόμισμα οὕτω καὶ ἡ ἡμῶν φωνὴ οἰκουμενικὴ ἐκ τοῦ Ἀλεξάνδρου ἐγένετο. Ἀναρίθμητα δὲ τὰ γεγραμμένα Ἑλληνιστὶ ἐστι ἐν ἐκείνοις τοῖς χρόνοις, οἵτινες Ἑλληνιστικοὶ καλοῦνται, ἐν οἷς καὶ τὰ ἀποκαλούμενα Εὐαγγέλιὰ, ἅ τὰ τῶν χριστιανῶν ἱερὰ βιβλία ἐστὶν. Τύχης ὅμως κακῆς τινος τὰ πλεῖστα τῶν βιβλίων πυρὶ ἐνέπρησαν κακόνοοι ἄνθρωποι ὑπηρέται τοῦ φθόνου τε καὶ μίσους. Οὕτω μόνον τὸ πέντε ἀνὰ ἑκατὸ βιβλία εἰς ἡμᾶς ἐκ τῆς μανίας αὐτῶν διεσώθησαν.

Τὰ νῦν, ἐν ἑκάστῳ διδασκαλείῳ, τοῖς κατὰ τὴν οἰκουμένην οὖσιν, ἔξεστι τοῖς βουλομένοις τὴν ἀττικὴν φωνὴν αἱρεῖσθαι πρὸς μάθησιν. Εἰσὶ γὰρ διδάσκαλοι ἱκανοὶ πρὸς τοῦτο. Καὶ ὡς ἀληθῶς εἰς ἑκατοντάδας χιλιάδας ἀριθμοῦνται οἱ αἱρούμενοι τὴν ἀττικὴν φωνὴν τε καὶ τὸν βίον τῶν ἡμῶν προγόνων πρὸς μάθησιν. Ἐν Ἰταλίᾳ μόνον, ἔνθα ἡ ἀττικὴ φωνὴ μάλα τοῖς μαθηταῖς δημοφιλὴς ἐστιν, ὑπὲρ τὰς τριάκοντα μυριάδας τὴν ἀττικὴν φωνὴν εἵλοντο τῷδε τῷ παρεστῶτι ἡμῖν ἐνιαυτῷ. Πρὸς τί ἄραγε τοῦτο πράττουσιν; Ἴδωμεν οὖν.

Παρὰ τινος τῶν εὖ εἰδότων ἔμαθον ὅτι ῥᾷον ἐστὶ τοῖς γιγνώσκουσιν τὰ ἀρχαῖα, ἐργασίαν εὑρεῖν ἵνα τὰ ἀναγκαῖα πορίζονται. Δοκοῦσι γὰρ εὐφυέστεροι τῶν μὴ εἰδότων τὴν ἀρχαίαν ἡμῶν φωνὴν εἶναι. Τὸ ἀληθὲς ἐστιν ὅτι ἀναγινώσκοντες τοὺς λόγους τῶν ἀρχαίων σοφῶν ἀνδρῶν, ἔθος αὐτοῖς γίγνεται τὸ ὀρθῶς λογίζεσθαι. Ἀλλὰ καὶ ἱκανὸν τεκμήριον ἡ ἀττικὴ φωνὴ πεπαιδευμένου ἀνδρὸς ἐστιν.

Πολλάκις δ' οὐκ ὀρθῶς εἴρηται ὡς χαλεπὸν ἐστι τὴν ἀττικὴν φωνὴν μαθεῖν. Οὐδὲν δὲ ψευδέστερον τούτου ἐστὶν. Τόσον χαλεπὸν ἐστι μαθεῖν αὐτὴν, ὅσον καὶ ἡ Βρεττανικὴ φωνὴ ἤ ἡ Ἰταλικὴ φωνὴ.

Τὰ νῦν ἡ ἡμῶν φωνὴ τὸ μόνον λειπὸμενον τεκμήριον τοῦ γένους ἡμῶν ἀπὸ τοῦ παλαιοῦ ἐστιν. Ἔθος δὲ κακὸν τοῖς νέοις ἐστὶν μὴ τὴν Ἑλληνικὴν ἀλλὰ τὴν Βρεττανικὴν φωνὴν μόνον λαλεῖν. Μέγα δὲ ἁμάρτημα τοῦτο ἐστὶ, τὸ λαλεῖν ξένην μόνον φωνὴν.

Εἰσι δὲ καὶ τινες βοῶντες ὡς ἡ ἡμῶν φωνὴ ἀλλὰ καὶ τὸ ἡμῶν γένος ἐκ τοῦ Ἰνδοευρωπαϊκοῦ γένους ἐστὶν. Ἀλλὰ πόθεν τοῦτο τεκμαίρεται οὐκ ἔχουσιν εἰπεῖν. Πείθοντες ὅμως τοὺς νέους περὶ τῆς Ἰνδοευρωπαϊκῆς ἡμῶν προελεύσεως, βλάπτουσι τὴν ἡμῶν γλῶτταν ἀλλὰ καὶ γένος. Ἡ ἡμῶν γλῶττα τε καὶ ἀλφάβητος ἡ μήτηρ ἐστὶ τῶν γλωττῶν ἁπάντων. Ὁρᾶτε τὴν Βρεττανικὴν φωνὴν ἤ τὴν Ἰταλικὴν, Τουρκικὴν καὶ ἄλλας. Τὸ ἡμῶν ἀλφάβητον ἔχουσιν ἵνα γράφωσιν!! Ἐκ τούτου δῆλον ὅτι ἡ τροφὸς καὶ μήτηρ ἡ ἀττικὴ φωνὴ τε καὶ ἀλφάβητον πασῶν των καλουμένων Δυτικῶν φωνῶν εἰσιν.

Μάθετε οὖν καὶ ὑμεῖς οἱ Ἕλληνες τὴν φωνὴν τῶν ἡμῶν προγόνων εἰς ἔνδειξιν τιμῆς πρὸς αὐτοὺς, οἵτινες ἔτι καὶ νῦν τῇ οἰκουμένῃ διὰ τῶν γεγραμμένων ἐπικουροῦσιν.

Συνελόντι εἰπεῖν, ἡ ἡμῶν φωνὴ οὐ μόνον χρήσιμος ἀλλὰ καὶ ἀναγκαία τοῖς νέοις ἐστὶν, ἵνα βίον ἀγαθὸν διάγουσιν. Ῥᾴδιον γὰρ αὐτοῖς ἄν γένοιτο ἐργασίαν εὑρεῖν τε καὶ πορίζεσθαι τὰ πρὸς τὸ ζῆν ἐκ τῆσδε τῆς ἐργασίας.